# TEZAUR LITURGIC

## 10 OCTOMBRIE

IOANNIS FOTOPOULOS

# SLUJBA SF.CUVIOS AMBROZIE GRENKOV DE LA OPTINA

KALAMOS,1997


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Τῌ Ι΄ ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ
# Μνήμη τοῦ Ὁσίου Ἀμβροσίου τῆς Ὄπτινα
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα πρωτοπρεσβυτέρου Ἰωάννου Φωτοπούλου**

**(ΣΤΑΥΡΟΠΗΓΙΑΚΗ ΚΑΙ ΣΥΝΟΔΙΚΗ Ι. ΜΟΝΗ ΑΓ. ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ 190 17,ΚΑΛΑΜΟΣ ΑΤΤΙΚΗΣ,1997)**

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

*Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ᾽ καὶ ψάλλομεν τὰ παρόντα προσόμοια. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Ἐν γῇ τῆς καρδίας σου, τὸ πῦρ τὸ θεῖον ἠνήφθη, καὶ Χριστὸς σὲ ἔτρωσεν, μανικῷ τῷ ἔρωτι πάτερ Ὅσιε, καὶ λιπὼν ἅπασαν, κόσμου ματαιότητα, ἐν ἐρήμῳ κατετρύφησας, δώρων τοῦ Πνεύματος, πᾶσαν ἀρετὴν συλλεξάμενος, ὡς μέλισσα φιλόπονος, καὶ τοῖς προσιοῦσι μετέδωκας, δαψιλῶς τὸν πλοῦτον, τὸν ἄφθαρτον τῆς χάριτος σοφέ, ὃν καὶ παρέχεις Ἀμβρόσιε, τοῖς σὲ μακαρίζουσι.

Κρυπτῶς ἐργασάμενος, τὴν νοερὰν ἐργασίαν, θαυμαστὲ Ἀμβρόσιε, νόσοις τε καὶ θλίψεσι, πειραζόμενος, θησαυρὸν δὲ ἄσυλον, καὶ χαρὰν ἀδάπανον, ἐκληρώσω παναοίδιμε· καὶ εἰς οὐράνια, ὥσπερ νικητὴς ἀνελήλυθας, χορεύων καὶ τερπόμενος, σὺν ταῖς ἀσωμάτοις δυνάμεσι· πρέσβυς μοναζόντων,

προστάτης θλιβομένων καὶ ποιμήν, ταῖς προσευχαῖς σου γενόμενος, τῶν ἀνευφημούντων σε.

Ἔγνω σε τῷ Πνεύματι, πεπληρωμένον χαρίτων, ὁ θεῖος Μακάριος, πᾶσαν ἡδυπάθειαν ἀποθέμενον, ταπεινώσει τέλειον, τῇ ἀγάπῃ πλούσιον, προσευχῇ ὡς πῦρ γενόμενον, νέκρωσιν σώματι, πάντων τῶν παθῶν περιφέροντα· διὸ χερσί σου Ὅσιε, θρέμματα Χριστοῦ ἐμπεπίστευται, μεθ᾽ ὧν διασῴζεις καὶ φέρεις εἰς νομὰς ζωοποιούς, τοὺς ἐν χαρᾷ ἀνυμνοῦντάς σε, ἱερὲ Ἀμβρόσιε.

*Ἕτερα Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Ἔδωκέ σε Κύριος, ὡς γεωργὸν ἐμπειρότατον, τῆς ἀμπέλου Ἀμβρόσιε, πολλὰ κοπιάζοντα, ἐν τῇ Ἐκκλησίᾳ· ἀρδεύοντα λόγοις καὶ ἐγκεντρίζοντα εὐχαῖς, καὶ τῇ τοῦ βίου σου καθαρότητι, ψυχὰς εἰς τὴν εὐσέβειαν, πλεῖστας φυτεύοντα Ὅσιε, καὶ Χριστῷ βότρυν ἄφθονον, ὡς Δεσπότῃ προσφέροντα.

Ἔθηκέ σε Κύριος, ὡς ἁλιέα θεόσδοτον, ἐν τῷ κόσμῳ Ἀμβρόσιε· ἀγκίστρῳ τῆς χάριτος, ἀγρεύοντα πάντας· καὶ ἐν τῇ σαργάνῃ, τῆς μελιῤῥύτου διδαχῆς, εἰς βασιλείαν Χριστοῦ συνάγοντα· νυκτὸς ἀγωνιζόμενον, ἐν προσευχαῖς καὶ δεήσεσι, καὶ ψυχῆς σου τὰ δίκτυα, καταρτίζοντα δάκρυσιν.

Ἔπεμψε ποιμένα σε, τῇ θείᾳ μάνδρᾳ κατάλληλον, ὁ Δεσπότης Ἀμβρόσιε· ἀγρύπνως φυλάσσοντα, λογικῶν προβάτων, τὴν ἁγίαν ποίμνην· λύκους αἱρέσεων

δεινούς, ῥάβδῳ εὐθύτητος ἐκδιώκοντα· καὶ σύριγγι ἡδύνοντα, τῶν Ἱερῶν διδαγμάτων σου, τὰς ψυχὰς τῶν ἐν πίστει σοι, προσιόντων μακάριε.

*Δόξα. Ἦχος πλ. β΄.*

Μεμύθευται πάλαι παρ᾽ Ἕλλησι, τοὺς ψευδωνύμους θεούς, ἀμβροσία διαιτᾶσθαι, αὐτοὺς ἀφθαρτιζούσῃ· νῦν δὲ ἐν τῇ καινῇ κτίσει τοῦ Θεοῦ, ἀληθεῖ ἐκτρέφονται, τροφῇ πνευματικῇ, οἱ φίλοι τοῦ Χριστοῦ, ἐν τῇ μυστικῇ τραπέζῃ αὐτοῦ, ἐν οἷς καὶ ὁ θεόσοφος, κρυφιομύστης Ἀμβρόσιος, ἀμβροσίᾳ τῆς χάριτος τραφείς, καὶ μεθυσθεὶς τῷ Πνεύματι, θέσει Θεὸς ἐγένετο, συγχορεύων δὲ τοῖς ἀγγέλοις, καὶ φωτὶ ἀΰλῳ συγκραθείς, τοῖς τιμῶσιν ἐκ πόθου, τὴν μνήμην αὐτοῦ, φωτισμὸν παρέχει, ταῖς πρὸς Χριστὸν ἐντεύξεσι.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει Σε...

*Εἴσοδος. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Γ΄. 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δε εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα

εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. Ε΄. 15-23 & ΣΤ΄, 1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις

ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέξει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ συνέτε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Δ΄. 7-15).*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.*

Εὐφράνθητε σήμερον, τῶν Ὀρθοδόξων οἱ δῆμοι, καὶ τῆς Ῥωσίας οἱ λαοί, καὶ τῶν ἀγγέλων αἱ φάλαγγες. Καὶ γὰρ ἀστὴρ ὁ φαεινός, τῆς Ἐκκλησίας ἁπάσης, ὁ ἱερὸς Ἀμβρόσιος, ἡμῖν συμπαρίσταται. Τὰς ὑπερκοσμίους εὐλογίας αὐτοῦ, δαψιλῶς ἐκχέων, τοῖς ἑορτάζουσι τὴν μνήμην αὐτοῦ· πάντες οὖν προφθάσωμεν, καὶ καλῶς συλήσωμεν, τὸν ἀσύλητον καὶ αἰώνιον θησαυρόν, ὃν ἐδωρήσατο αὐτῷ ὁ Κύριος· μηδεὶς ἐξέλθῃ πεινῶν, ἀλγῶν καὶ θλιβόμενος, ἀλλ᾽ ἕκαστος λαμβανέτω, χαρίσματα ἄφθονα, καὶ ἱλασμὸν ταῖς πρεσβείαις αὐτοῦ, καὶ τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Τί σε προσείπωμεν Ἀμβρόσιε! Ἄγγελον ἐπίγειον; ἐν γὰρ ταῖς, ἀεννάοις προσευχαῖς συνημιλλήθης, ἀγγέλων τοῖς τάγμασιν. Ποιμένα θεόλεκτον; ὅτι νύκτα, καὶ ἡμέραν κοπιῶν τοῦ Χριστοῦ, τὸ ποίμνιον εἰς νομὰς χλοεράς, καὶ εὐθαλεῖς καθωδήγησας. Ἰατρὸν θαυμάσιον; καὶ γὰρ θεραπεύεις, ψυχῶν καὶ σωμάτων τὰ νοσήματα· Ὄμμα πανδερκὲς τοῦ Θεοῦ; Ὅτι τῇ, δοθείσῃ χάριτι τὸ ἔσω τῆς καρδίας, τῶν προσιόντων σοὶ ἑώρακας. Πρεσβευτὴν ἰσχυρότατον; αὐτὸς γάρ, ἱκετεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Ὥσπερ τῶν Μεδιολάνων ὁ ποιμήν, ὤφθη ἐν ταῖς ψαλμικαῖς ἐξηγήσεσι, πεφωτισμένῳ τῷ προσώπῳ, οὕτω καὶ ὁ θεοφώτιστος Ἀμβρόσιος, ὁ καιροῖς ἐσχάτοις φανείς, ὡράθη ἐνθέοις καὶ ἀΰλοις,

μαρμαρυγαῖς καταλαμπόμενος, τὸ κάλλος τὸ ἀπόθετον, τῆς ψυχῆς φανερῶν, διὸ καθικετεύσωμεν αὐτόν, ἀπαμφιᾶσαι τὸ σκότος τῆς ἁμαρτίας, καὶ ἐνδῦσαι ἡμᾶς, τοῦ ἀῤῥήτου φωτὸς τὸν ἄφθαρτον χιτῶνα, πρεσβεύων πρὸς Κύριον, δωρηθῆναι ἡμῖν, τὸ μέγα ἔλεος.

*Ἦχος δ΄.*

Νόσους ἤνεγκας πολλάς, Ὅσιε πάτερ, μάρτυς καρτερὸς γενόμενος, τῇ τῶν πόνων ὑπομονῇ, καὶ πίστει τῇ ἀδιστάκτῳ· διὰ τοῦτο τὸ ἀσκητικώτατόν σου σῶμα, ἁγιασμοῦ γέγονε δοχεῖον, καὶ τῶν λειψάνων σου ἡ μυρίπνοος θήκη, ἰατήριον ἄριστον, ἣν ἁπτόμενοι προθύμως, ἀρυόμεθα χάριν καὶ ἔλεον.

*Δόξα. Ἦχος πλ. δ΄.*

Συνελθόντες σήμερον, ἐν τῇ πανσέπτῳ μνήμῃ σου, θεομακάριστε Ἀμβρόσιε, ἱκετεύομέν σε φώτισον, ταῖς ἀεννάοις προσευχαῖς σου, πάντας τοὺς εὐσεβῶς σοι προσπίπτοντας· καὶ πλήρωσον ταχύ, τῶν καρδιῶν ἡμῶν τὰ αἰτήματα· λογισμοὺς ἀγαθοὺς δώρησαι, ἡμᾶς ἀσθενοῦντας θεράπευσον, θλίψεις καὶ πόνους ἐπικούφισον, κατανύξεως δάκρυα χάρισαι, καὶ τὴν πρὸς Θεὸν ἀγάπην ἐμφύτευσον ἡμῖν. Παρεμβολὴν τῶν ὀρθοδόξων τείχισον, αἱρετιζόντων τὴν λύμην καθαιρῶν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

*Καὶ νῦν.*

Δέσποινα πρόσδεξαι…

*ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, δένδρον καλὸν τοῦ Χριστοῦ, ταῖς διεξόδοις τῶν ὑδάτων τῆς χάριτος, τρισμάκαρ πεφυτευμένον, ἐστολισμένον λαμπροῖς, καὶ εὐόσμοις ἄνθεσι τῆς ἀσκήσεως· ὡραίους ποιούμενος, τοὺς καρποὺς τῆς πραότητος, τῆς εὐσπλαγχνίας, καὶ ἐνθέου χρηστότητος· οὓς θεώμενοι καὶ γευόμενοι Ὅσιε, χαίροντες ἀναγόμεθα, πρὸς πόθον καὶ ἔρωτα, τοῦ δι᾽ ἡμᾶς σταυρωθέντος, καὶ τὴν ζωὴν τὴν αἰώνιον, ἡμῖν δωρουμένου, τοῖς τιμῶσί σε ἐν πίστει, κλεινὲ Ἀμβρόσιε.

Χαίροις, ὁ τῆς Ῥωσίας βλαστός, τῶν μοναζόντων ἱερὸν ἐγκαλλώπισμα, τῆς Ὄπτινα ὁ προστάτης, τῶν διδασκάλων κανών, βακτηρία πάντας ἡ στηρίζουσα, ὁ λύχνος ὁ ἔνθεος, φῶς πηγάζων τῆς χάριτος, καὶ τῶν ἀθέων, ὁδηγὸς πρὸς ἀλήθειαν, ἰαμάτων τε ἡ πηγὴ ἡ ἀείροος· ὄμμα τὸ καθαρώτατον, θεότητος ἔλλαμψιν, εἰσδεδεγμένον καὶ βλέπον, τῶν καρδιῶν τὰ ἀπόῤῥητα, Ἀμβρόσιε πάτερ, πρεσβευτὰ ἡμῶν ἁπάντων, τῶν εὐφημούντων σε.

Σπεύσωμεν, μοναστῶν ὁ χορός, τῶν Ἱερέων ἡ σεπτὴ διακόσμησις, παρθένοι καὶ νεανίσκοι, καὶ τοῦ λαοῦ ἡ πληθύς, φιλεόρτων πᾶσα ἡ ὁμήγυρις, εἰς οἶκον τοῦ μάκαρος, Ἀμβροσίου καὶ λάβωμεν, ἁμαρτημάτων, κουφισμὸν καὶ ἀνάψυξιν, ἐν ταῖς θλίψεσι καὶ τοῦ βίου διόρθωσιν, πόθῳ τὰ θεῖα λείψανα, αὐτοῦ ἀσπαζόμενοι, καὶ βιοτῆς μεμνημένοι, τῆς ἰσαγγέλου καὶ σώφρονος,

κραυγάζοντες Πάτερ, καὶ ἡμῶν μὴ ἐπιλάθου, τῶν εὐφημούντων σε.

*Δόξα. Ἦχος πλ. α΄*

Χρυσοφαὴς ὥσπερ ἥλιος, ἀνέτειλεν ἡ μνήμη σου, ἱερομύστα Ἀμβρόσιε, θάλπουσα καὶ φωτίζουσα, τὰς ἐκ τῶν δηγμάτων τοῦ ὄφεως, κεκακωμένας ψυχάς. Πάντας οὖν συγκαλεῖς, εἰς εὐωχίαν πνευματικήν, κόρον μὴ ἔχουσαν, μισθὸν δὲ ἀδάπανον διδοῦσαν, τοῖς ἐν τῷ ναῷ σου συνελθοῦσι. Καὶ γὰρ πλήρης Πνεύματος Ἁγίου ὑπάρχει, καὶ ναὸς ἐπάξιος, τῆς ἀχωρήτου Τριάδος, ἐν ᾧ τὰ αἰτήματα ἡμῶν προσφέροντες, ἁγιασμὸν, ταῖς ἱκεσίαις σου λαμβάνομεν, καὶ ῥῶσιν καὶ ἄφεσιν, ταῖς ψυχαῖς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν Σε...

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀρετῶν ἐν σταδίῳ ἀγωνισάμενος, καὶ τραφεὶς ἀμβροσίᾳ τοῦ θείου Πνεύματος, τὸ κελλίον σου ψυχῶν ἐργαστήριον, καὶ πικρῶν ἀσθενειῶν ἰατρεῖον θαυμαστόν, Ἀμβρόσιε, ἀπειργάσω. Καὶ νῦν τῷ Κτίστῃ πρεσβεύεις, ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε πύλη Κυρίου...

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὴν α΄ Στιχολογίαν.*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Ἠνέῳξας λαοῖς, μετανοίας τὴν θύραν, Ἀμβρόσιε σοφέ, νουθεσίαις σου θείαις, καὶ βίου ὀρθότητι, καὶ ἁγνείας λαμπρότητι· ὅθεν σήμερον, περιχαρῶς φιλεόρτων, τὰ συστήματα, τὴν σὴν πανέορτον μνήμην, γεραίρομεν ᾄσμασι.

*Δόξα καὶ νῦν. Θεοτοκίον.*

Μητέρα σὲ Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

*Μετὰ τὴν β΄ στιχολογίαν. Ἦχος γ΄. Θείας πίστεως.*

Θείας χάριτος, τῇ χορηγίᾳ, κατεπάλαισας, γενναιοφρόνως, τοῦ βελίαρ τὰς φάλαγγας ἔνδοξε· ὑψοποιῷ ταπεινώσει θεουμένος, τὸ χοϊκὸν ἀπενέκρωσας φρόνημα, ὅθεν σήμερον, σεμνύνονται ἀνυμνοῦντές σε, χοροὶ τῶν μοναζόντων Ἀμβρόσιε.

*Δόξα καὶ νῦν. Θεοτοκίον.*

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Ῥωσίας τὸν βλαστόν, τοῦ Βοῤῥᾶ τὸν ἀστέρα, τὸ σέλας τοῦ Χριστοῦ, ἀπλανῶς τὸν δεικνύντα, γερόντων τῆς Ὄπτινα τὸ θεόσταλτον καύχημα, τὸν Ἀμβρόσιον, εὐσεβοφρόνως τὸν θεῖον, ἐπαινέσωμεν, ἁγιασμὸν καὶ εἰρήνην, πολλὴν κομιζόμενοι.

*Δόξα καὶ νῦν, Θεοτοκίον.*

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων, εἰς βυθὸν ὀλισθαίνουσαν, ἀπωλείας πανάμωμε· καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτῆς ἀποφάσεως.

Οἱ Ἀναβαθμοί, τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. Ἦχος δ΄: *Τίμιος ἐναντίον Κυρίου ...*

Στίχ.: *Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ...*

Εὐαγγέλιον Ὁσιακόν.

*Δόξα: Ταῖς τοῦ σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Εἶτα τὸ ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἀμβρόσιε τρισμάκαρ, ἰσάγγελε ἄνθρωπε, ποιμὴν ἀληθινέ, ἀνύστακτε φύλαξ, τῆς μάνδρας τοῦ Χριστοῦ, ἰατρὲ πανθαύμαστε, σέμνωμα τῆς ἐκκλησίας, καὶ Ῥωσίας τὸ ἀγλάϊσμα, μὴ παύσῃ πρεσβεύων ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Οἱ Κανόνες. Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ᾽ καὶ τοῦ ὁσίου εἰς η΄.

Κανὼν τὸν Ὅσιον, οὗ ἡ ἀκροστιχίς: *Ἡ θαυμαστὴ πολιτεία σου, Πάτερ ὑμνείσθω. Ἰωάννης,*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Ἡ λαμπροφόρος ἑορτή σου σήμερον, σοφὲ Ἀμβρόσιε, ὡς ἔαρ μυρίζον, τοῖς λαοῖς ἀνέτειλε, διό μοι πάτερ δώρησαι, ἐκ λειμώνων σου θείων, ἄνθη εὐώδη τῆς χάριτος, εἰς τὸ καταστέψαι τὴν μνήμην σου.

Θησαυρισμάτων ἱερῶν τοῦ Πνεύματος, οἶκος γενόμενος, ματαίαν σοφίαν, πᾶσαν ἀπωσάμενος, τοῖς ἀδελφοῖς σου ἔνειμας, τὸν οὐράνιον πλοῦτον, ὡς οἰκονόμος πανάριστος, τοῦ Χριστοῦ θεόφρον Ἀμβρόσιε.

Ἀσθενειῶν παντοδαπῶν καὶ θλίψεων, τὸ βάρος ἤνεγκας, καὶ τὸν σταυρὸν πάτερ, τοῦ Χριστοῦ ἐβάστασας, δουλαγωγῶν τὸ σῶμά σου, καὶ τὸν νοῦν ἐκκαθαίρων, ταῖς λαμπηδόσι τῆς χάριτος, καὶ τοῖς ἀειῤῥόοις δακρύοις σου.

Ὕδατα ῥύακος ἀκούσας Ὅσιε, αἰνεῖν τὸν Κύριον, τῷ πνεύματι ζέων, κόσμου κατεφρόνησας, καὶ ἐν ἐρήμῳ ἔφθασας, ἀεννάοις εὐχαῖς σου, τὸν Λυτρωτὴν ἱλεούμενος, καὶ αὐτοῦ τῇ νεύσει Θεουμένος.

*Θεοτοκίον.*

Μαρία Μῆτερ τοῦ φωτὸς παλάτιον, τοῦ Βασιλέως τερπνόν, καὶ στάμνος τὸ θεῖον, μάνα ἡ βαστάσασα,

ἡμῶν ὑπάρχεις καύχημα, παῤῥησία καὶ κλέος, καὶ θησαυρὸς ἀνεξάντλητος, καὶ πηγὴ ἐλέους πανάμωμε.

*ᾨδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.*

Ἄσματα τῇ μνήμῃ σου, Πάτερ Ἀμβρόσιε ᾄδομεν, καὶ ἐν χαρᾷ, λειψάνων σου θήκην, ἀσπαζόμεθα τρισόλβιε.

Στόματα ἀπύλωτα, τὰ τῶν ἀθέων ἐφίμωσας, καὶ τὸν Χριστόν, πάντων ταῖς καρδίαις, κατεφύτευσας ἀοίδιμε.

Τύπος πᾶσι γέγονας, ὑπομονῆς καὶ πραότητος, καὶ προσευχῆς, τέλειος ἐργάτης, ἱερώτατε Ἀμβρόσιε.

Ἥλιος φανότατος, ἐν τῇ Ῥωσίᾳ ἐπέλαμψας, φωταγωγῶν, λόγοις σου ἐνθέοις, ὀρθοδόξων τὰ συστήματα.

*Θεοτοκίον.*

Πάθεσι στενάζοντα, ἐμὲ τὸν ἄθλιον λύτρωσαι, Κόρη Ἁγνή, καὶ λιταῖς σου θείαις, τῷ Υἱῷ σου μὲ κατάλλαξον.

*Κάθισμα. Ἦχος πλ. δ΄. τὴν Σοφίαν καὶ Λόγον.*

Τὴν σοφίαν τοῦ Λόγου ἐγκολπωθείς, τῇ ἀῤῥήτῳ δὲ γνώσει θεοειδής, ὅλος γενόμενος, ἐν Ῥωσίᾳ ἐπέφανες, καὶ διψώσας καρδίας, ποτίζεις τῇ χάριτι, καὶ μεθύσκεις τῷ πόθῳ, Χριστοῦ τοὺς προστρέχοντας, ὅθεν σὲ τιμῶμεν, ὡς διδάσκαλον μέγα, ποιμένα θεόπνευστον, ἐκκλησίας ἑδραίωμα, θεοῤῥῆμον Ἀμβρόσιε, καὶ θήκην προσκυνοῦντες εὐλαβῶς, τῶν

λειψάνων σου ἄνεσιν λαμβάνομεν, καὶ ἰάματα ἄφθονα, πάνσοφε

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγή, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον, ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων, διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

*Ὠδὴ δ΄. Σὺ μου ἰσχύς, Κύριε.*

Ὄπτινα πάτερ εὐφραίνεται, πανηγυρίζουσα, ὡς πλουτοῦσα, τὰ σεπτά σου λείψανα, καὶ φωτισμοῦ δέχεται αὐγάς, ἡ τῶν μοναζόντων, ἀγγελικὴ φάλαγξ Ὅσιε, καὶ ταῖς θερμαῖς εὐχαῖς σου, ἡ ἐκκλησία πᾶσα, κρατυνομένη ὡραΐζεται.

Λύχνος λαμπρὸς διακρίσεως, ὤφθης Ἀμβρόσιε, ἀνακρίνων καρδιῶν ἐννοίας τε, καὶ λογισμοὺς πάντας ἐρευνῶν, παθῶν δὲ ἀκάνθας, ἐκ τῶν ψυχῶν ἐναπέτεμες, τοῦ Πνεύματος μαχαίρα, τῆς εὐσεβείας σπείρας, καὶ ἀρετῶν τὰ θεῖα σπέρματα.

Ἴχνεσι θεῖε Ἀμβρόσιε, ἐπηκολούθησας, τῶν Πατέρων, λάμψας ἐν τοῖς πέρασι, ταῖς ἀρεταῖς κρίκος δὲ χρυσοῦς, ἀλύσεως μάκαρ, τῆς ἱερᾶς ἐχρημάτισας,

ἐν μέσῳ ἀπαστράπτων, τοῦ θείου Μακαρίου, καὶ Ἰωσὴφ τοῦ οὐρανόφρονος.

Τραυματισθεὶς ὁ ἀρχέκακος, τῇ ταπεινώσει σου, πολυμόχθοις νόσοις σε καὶ θλίψεσι, καταπονῶν, βέλεσι πικροῖς, ἐτρώθη θεόφρον, τῆς θαυμαστῆς καρτερίας σου· διὸ ὡς στρατιώτης, Χριστοῦ ἐστεφανώθης, τῆς ἀπαθείας τῷ χαρίσματι.

*Θεοτοκίον.*

Ἐν τῇ γαστρί σου συνέλαβες, Μῆτερ Ἀνύμφευτε, τὸν τὴν κτίσιν ἅπασαν ποιήσαντα, καὶ σαῖς χερσί, ὅλον τὸν Θεὸν, θερμῶς ἠγκαλίσω, τὸν ταῖς χερσὶ πάντα φέροντα· ἐθήλασας δὲ γάλα, τὸν τρέφοντα τὸν κόσμον, διὸ μὲ σῴζεις ταῖς πρεσβείαις σου.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ἱλασμὸς τοῖς τιμῶσι, τὴν ἁγίαν μνήμην σου μάκαρ Ἀμβρόσιε· φάνηθι καὶ παῦσον, τοῦ ἐχθροῦ τὴν μανίαν πρεσβείαις σου, καὶ τῇ παῤῥησίᾳ, πρὸς τὸν οἰκτίρμονα Δεσπότην, χάριν θείαν παράσχου τοῖς δούλοις σου.

Ἀναβάσεσι θείαις, μυστικῶς τῷ Χριστῷ σου, ἡνώθης πάνσοφε, πλοῦτον χαρισμάτων, κομιζόμενος πάτερ ἀσύλητον, ὅθεν τῇ σῇ κέλλῃ, λαοὶ ἐν πίστει συνδραμόντες, τῶν δωρεῶν κατετρύφουν τοῦ Πνεύματος.

Σῖτον ἄφθονον πάτερ, ἀποθήκη συνάγεις τοῦ Παντοκράτορος, κόποις καὶ ἱδρῶσι, πρὸς ζωὴν ἐπανάγων τοὺς πταίσαντας· φῶς τῶν ἐν τῷ σκότει, καὶ

τοῖς λιμώττουσι ὡς ἄρτος, γεγονὼς τῇ μεθέξει τοῦ Κτίστου σου.

Ὄλβον θεῖον ἐκτήσω, τὸν Σταυρὸν τοῦ Κυρίου, ἄρας ἐπ᾿ ὤμων σου, σταυρωθεὶς ἐν τούτῳ, καὶ νεκρώσας παθῶν τὰ ὁρμήματα, καὶ συμβασιλεύεις τῷ Ἰησοῦ, εἰς τοὺς αἰῶνας, ἀγαλλόμενος θεῖε Ἀμβρόσιε.

*Θεοτοκίον.*

Ὑμνουμένη ἀπαύστως, τοῖς χοροῖς τῶν ἀγγέλων Μῆτερ θεόνυμφε, καὶ ἐπαινουμένη, ὀρθοδόξων τοῖς δήμοις ἑκάστοτε, σῴζεις ταῖς λιταῖς σου, καταποθέντα τὸν λαόν σου, ὑπὸ νόσων κινδύνων καὶ θλίψεων.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι, Σωτήρ.*

Ὑμνείσθω πανευλαβῶς, ἐν τῷ ναῷ αὐτοῦ σήμερον, ἐν ᾄσμασι καὶ ᾠδαῖς, ὁ μέγας Ἀμβρόσιος, τὸ πῦρ γὰρ τῆς χάριτος, φιλοτίμως νέμει, τοῖς αὐτὸν ἐγκωμιάζουσι.

Μιάσματα τῶν ψυχῶν, ἀποκαθάρωμεν ἅπαντες, τιμίων ὑπὲρ χρυσόν, καὶ λίθον πολύτιμον, λειψάνων ἁπτόμενοι, θείου Ἀμβροσίου, εὐωδίας ἐμπιπλάμενοι.

Νοήματα φωτεινά, πεφυτευμένα τῷ πνεύματι, ἐξήνθησαν τὴν χαράν, τὴν πάντοτε θάλλουσαν, τῷ θείῳ προσώπῳ σου, Ἀμβρόσιε πάτερ, θλιβομένοις παραμύθιον.

Εἰκόνα σου τὴν φαιδράν, καὶ ἀεισέβαστον Ὅσιε, τοῖς ὄμμασι καθορῶν, τὰ κάλλη φαντάζομαι, τῆς θείας λαμπρότητος, ἧς ἐπαπολαύεις, σὺν ἀγγέλοις ἀγαλλόμενος.

*Θεοτοκίον.*

Ἱλάσθητί μοι Ἁγνή, ποντιζομένῳ τοῖς πταίσμασι, καὶ ἄλλην καταφυγὴν, μὴ ἔχοντι, Πάνσεμνε, καὶ ῥῦσαι πρεσβείαις σου, πυρὸς ἐξωτέρου, τὴν παμβέβηλον καρδίαν μου.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Πολιτείαν ἄγουσαν, εἷς οὐρανίους σκηνώσεις, τὴν λαμπρὰν καὶ πάνσεπτον, οἱ ὑμνηταί σου ἐν πίστει, ᾄδομεν χεῖρας κροτοῦντες ἐν εὐφροσύνῃ· πάντες δὲ τὴν χαριτόβρυτον ὄντως θήκην, τῶν λειψάνων σου τιμῶμεν, ῥῶσιν ἀντλοῦντες, παμμάκαρ Ἀμβρόσιε.

*Οἶκος.*

Χθαμαλοὺς λογισμούς, ἔπαρον Σῶτερ εὔσπλαγχνε, χαλεπῶς ἐπ᾽ ἐμέ, πίπτοντας καὶ σκοτίζοντας, φρένας μου ἀθλίας· καὶ δός μοι τὸ φῶς Σου, ὅπως τρανώσω, θείου οἰκέτου σου λαμπρὰ ἀγωνίσματα. Τὸ φῶς κρυβῆναι, πάντως ἀδύνατον, ἔρημον ᾤκησεν, ἐσμοὺς δαιμόνων νικήσας πάντας, ἀγγέλων ὤφθη μιμητής, πιστῶν δὲ ἔκλαμπρος φωστήρ, διὰ τοῦτο πρὸς τοῦτον ἐκβοῶμεν· σαῖς πρεσβείαις σῷζε σοὺς δούλους, παμμάκαρ Ἀμβρόσιε.

*Συναξάριον.*

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀμβροσίου τῆς Ὄπτινα τοῦ θαυματουργοῦ.

*Στίχοι.*
*Βρῶσιν βεβρωκὼς Ἀμβρόσιε τὴν ἄνω,*
*Βρύεις τοῖς πιστοῖς ἄνωθεν τὴν σὴν χάριν.*

*ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Σάρκα νηστείαις κατατήξας, ἀγρυπνίαις τὴν καρδίαν σου λαμπρύνας, ὥσπερ στῦλος πυρός, Ἀμβρόσιε τρισμάκαρ, ἐγένου τηλαυγέστατος, τὰς ψυχὰς ἡμῶν φαιδρύνων.

Θαύμασι πλείστοις καὶ σημείοις, ἀναδέδειξαι τοῦ πνεύματος δοχεῖον, καὶ προστάτης θερμός, καὶ ῥύστης καὶ θεράπων, τῶν ἀσθενούντων Ὅσιε, καὶ πικρῶς τυραννουμένων.

Ὤφθης ἀστράπτων θείᾳ αἴγλῃ, καὶ ἐκπλήττων πάντα νοῦν τῇ εὐμορφίᾳ, ἣν παρέσχε Χριστός, τῷ ταπεινῷ σου σκεύει, ἵνα σὲ δείξῃ τέλειον, καὶ συνάριθμον ἁγίοις.

Πλήθη λαοῦ πιστῶς προσῆλθον, τῇ ἁγίᾳ σου κοιμήσει θεοφόρε, ἀσπασμῷ εὐλαβεῖ τῶν θείων σου λειψάνων, ἁγιασμὸν λαμβάνοντες, καὶ ψυχῶν τὴν σωτηρίαν.

*Θεοτοκίον.*

Ἄφρων καὶ ἄνους ἐγενόμην, ἁμαρτήμασι πανάχραντε Μαρία· διὸ τὸν Χριστόν, ὑπὲρ ἐμοῦ δυσώπει, θείου αὐτοῦ θελήματος, δωρηθῆναί μοι τὴν γνῶσιν.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Τοῦ Σαμορντίνου σήμερον, ἡ Μονὴ ἐπαγάλλεται, γλυκυφθόγγοις ὕμνοις, τὸν κλεινὸν Ἀμβρόσιον, τιμῶσα ὡς ἔφορον, καὶ κραταιόν, στῦλον καὶ φρουρόν· πάντες δὲ πιστοί, ἀνευφημοῦμεν ἐν πόθῳ, τὴν θείαν αὐτοῦ μνήμην, σὺν Υἱῷ τὸν Πατέρα, αἰνοῦντες καὶ τὸ Πνεῦμα, εἰς πάντας τοὺς αἰῶνας.

Ἐλαία ὡς κατάκαρπος, καὶ ὡς κλῆμα πολύφορον, ἐν τῇ ἐκκλησίᾳ, φυτευθεὶς Ἀμβρόσιε, μονάζουσι πέφυκας, ὑπογραμμός, τύπος καὶ φωστήρ, τῇ ὑπακοῇ, καὶ τῷ ἀκτήμονι βίῳ, καὶ τῇ καθαρωτάτῃ, ἀΰλῳ πολιτείᾳ· διὸ καὶ σὲ τιμῶσι, παρθενευόντων δῆμοι.

Ἱλέῳ σου τῷ ὄμματι, ἐπιβλέψας θεσπέσιε, χώραις ξηρανθείσαις, τὸν αὐχμὸν κατέπαυσας, καὶ γαίας κατήρδευσας, εὐχῶν τῇ ἐπομβρίᾳ σου· πλήθη δὲ λαοῦ, ἐκ τοῦ λιμοῦ ἀφαρπάσας, ἐποίησας δοξάζειν, Τριάδα τὴν Ἁγίαν, μιᾷ ἐν τῇ οὐσίᾳ, τρισὶ δὲ τοῖς προσώποις.

Ῥωσίας ᾐχμαλώτευσας, τοὺς λαοὺς ἱερώτατε, μελιῤῥύτοις λόγοις, καὶ σοφοῖς διδάγμασι, καὶ πλείσταις δυνάμεσι, καὶ ῥείθροις εὐσπλαγχνίας σου, πάντας ἐλεῶν, παραμυθῶν καὶ φωτίζων, διὸ τὸ ὄνομά σου, τοῖς πέρασι θρυλλεῖται, ᾠδαῖς δὲ ἡδυφθόγγοις, Ἀμβρόσιε ὑμνεῖται.

*Θεοτοκίον.*

Ὡς μόνην ἀειπάρθενον, ἐν ταυτῷ καὶ γεννήτριαν, τοῦ Θεοῦ καὶ Λόγου, σὲ ὑμνοῦμεν Δέσποινα· καὶ γὰρ

ἀπεκύησας, σαρκὶ τὸν προαιώνιον, καὶ Δημιουργόν, ὃν οἱ πιστοὶ προσκυνοῦμεν, μεσίτην καὶ προστάτην, Μαρία σὲ πλουτοῦντες, καὶ θύραν παραδείσου, καὶ φῶς τῶν ἐν τῷ σκότει.

*ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἀνόμοις τοῦ Κυρίου τὰς ἐντολάς, ἐκδιδάξας θεόφρον Ἀμβρόσιε, καὶ τὰς ὁδούς, νύκτα καὶ ἡμέραν κακοπαθῶν, καὶ νουθετῶν ἐν δάκρυσι, τοὺς χειμαζόμενους ἐν πειρασμοῖς, εὐφραίνῃ σὺν ἀγγέλοις, καὶ πᾶσι τοῖς ὁσίοις, εἰς παραδείσου τὰ σκηνώματα.

Νύττεις ῥᾳθυμοῦντά με Ἰησοῦ, Ἀμβροσίου τοῦ θείου καὶ μάκαρος, τῇ βιοτῇ, σκότος τῆς καρδίας μου ἐκμειῶν, τῷ θείῳ αὐτοῦ ἔρωτι, ἕλκων μου τὸν νοῦν εἰς ἐπιστροφήν, συνέχομαι δὲ θάμβει, αὐτοῦ τῶν χαρισμάτων, καὶ προσκυνῶ σὲ τὸν φιλάνθρωπον.

Νεάνισιν πάτερ ὁμοιωθείς, ταῖς καλαῖς καὶ φρονίμοις καὶ σώφροσι, ὁλοφαῆ, τὴν λαμπάδα ἔφερες τῆς ψυχῆς, ταῖς προσευχαῖς ἐκλάμπουσαν, καὶ τῆς παρθενίας ταῖς ἀστραπαῖς· καὶ νῦν αὐτὴν βαστάζεις, ἐνώπιον τοῦ Κτίστου, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσαν.

Ἡσύχιον τὸν βίον ἐπιποθῶν, ἐν ἐρήμῳ τῆς Ὄπτινα ἤσκησας, πάτερ σοφέ, θείῳ Μακαρίῳ ὑποταγεὶς, καὶ ναῦς ὡσεὶ κατάφορτος, εἰς λιμένα ἔφθασας τοῦ Χριστοῦ, σκορπίζων ἀδιστάκτως, ὑπάρχοντά σου θεῖα, τοῖς προσιοῦσί σοι Ἀμβρόσιε.

*Θεοτοκίον.*

Σκηνὴν καὶ κιβωτὸν καὶ στάμνον χρυσῆ, σκιωδῶς ἐν τῷ Νόμῳ προεῖδόν Σε Μῆτερ Θεοῦ, θησαυρὸν κατέχουσα μυστικόν, ἡμεῖς δὲ Σὲ κατείδομεν, ὡς ζωὴν τεκοῦσαν τὴν ἀληθῆ· διὸ καὶ εὐχαρίστοις, ᾠδαῖς σὲ ἀνυμνοῦμεν, τὰς μεσιτείας σου αἰτούμενοι.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Ἐπὶ τῇ μνήμῃ σήμερον, τοῦ σεπτοῦ Ἀμβροσίου, σκιρτήσωμεν γηθόμενον, καὶ ζηλώσωμεν πάντες, τοὺς θαυμαστοὺς αὐτοῦ ἄθλους· καὶ αὐτοῦ ταῖς πρεσβείαις, τὸν νοῦν καταλαμφθείημεν, τῷ φωτὶ τῷ ἀκτίστῳ, καὶ ὑμνηταὶ ἄξιοι φανείημεν τῆς Τριάδος, καὶ μέτοχοι ὠφθείημεν, βασιλείας τῆς ἄνω.

*Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.*

Τῆς Ὄπτινα τὸ καύχημα, Ῥωσίας τὸ ἐκβλάστημα, τῶν κλονουμένων τὴν ῥάβδον, καὶ πλουτιστὴν τῶν ἀπόρων, Ἀμβρόσιον τὸν ἔνδοξον, τῆς χάριτος τὸ ὄργανον, ἀνευφημήσωμεν ὕμνοις, εὐχαριστοῦντες Κυρίῳ.

*Θεοτοκίον.*

Πανάμωμε Μητρόθεε, τὸ μέγα περιήχημα, τῶν ἀποστόλων μαρτύρων, καὶ προφητῶν καὶ ὁσίων, τὸν σὸν Υἱὸν καὶ Κύριον, ἱλέωσαι τοῖς δούλοις σου, ἡμῖν Θεογεννήτρια· ὅταν καθίσῃ τοῦ κρῖναι, τὰ κατ᾽ ἀξίαν ἑκάστῳ.

*ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.*

*Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Λάμπει, ἱερὲ Ἀμβρόσιε, ἡ ἐκκλησία Χριστοῦ, τῇ σεπτῇ πανηγύρει σου, μέλπουσα τοὺς ἄθλους σου, καὶ ἀτρύτους καμάτους σου, καὶ ἐγκαυχᾶται στῦλον σὲ ἔχουσα, παραμυθία καὶ καταφύγιον· ὅθεν αἰτούμεθα, πάντας καταφώτισον ταῖς σαῖς εὐχαῖς, τοὺς λαμπρῶς γεραίροντας, τὴν θείαν μνήμην σου. *(Δίς)*

Μύστης, ἀληθῶς γενόμενος, τῶν ὑπὲρ νοῦν δωρεῶν, καὶ ἀΰλων ἐμφάσεων, θεωρὸς θεσπέσιε, ἀρετῶν ἀνερχόμενος, κλίμακα θείαν ἧς τὸ ἀκρότατον, ἔφθασας ὄντως πάτερ Ἀμβρόσιε, καὶ κατοπτεύων νῦν, κάλλος τὸ ἀμήχανον τοῦ Ἰησοῦ, πρέσβυς πέλεις ἔνθερμος, τῶν ἀνυμνούντων σε.

Κόσμου, ματαίου κατέλιπας, τὴν ἀκοσμίαν σοφέ, ἡδονῶν τὸ ἐπίκηρον, δόξης τὸ κλυδώνιον, καὶ ἀργύρου τὸ πρόσκαιρον, καταφρονήσας διψῶν προσέδραμες, ζωῆς πρὸς ὕδωρ πάτερ Ἀμβρόσιε, θείῳ κοσμούμενος, ἀρετῶν ἐνδύματι καὶ κεφαλῇ, στέφος περιθέμενος τῆς ἀπαθείας λαμπρόν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Εἰς ὀσμὴν μύρων τοῦ Νυμφίου σου, ἔδραμες θεομακάριστε Ἀμβρόσιε, καὶ ἐκράτησας αὐτόν, ἕως οὗ εἰσήγαγες, εἰς τὸ ταμεῖον τῆς καρδίας σου. Ἡμεῖς δὲ τῇ πανεόρτῳ μνήμῃ σου, συνελθόντες ἐν τῷ ναῷ σου, ἐκ τῆς ὀσμῆς τῶν ἱματίων σου, ὀσμῆς πλήρους ἀρωμάτων, εὐφροσύνης πληρούμεθα καὶ χαρᾶς, αἶνον

ἀναπέμποντες, τῷ Παντοκράτορι Χριστῷ, ὃν ἱκέτευε ὁσιώτατε πάτερ, ὀσμὴν ζωῆς δωρήσασθαι ἡμῖν, καὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν.

*Καὶ νῦν.*

Δέσποινα πρόσδεξαι…

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΩΝ

*Τὰ τυπικά, καὶ εἰς τοὺς Μακαρισμούς, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὴν γ΄ καὶ στ΄ ᾠδὴν ἐκ τοῦ κανόνος τοῦ Ὁσίου.*

*Ἀπόστολος Ὁσιακός, Εὐαγγέλιον ὁμοίως.*

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιον…*

